Ἀριθμ. Πρωτ. 1581

Μακαριώτατε καὶ Ἁγιώτατε Ἀρχιεπίσκοπε Νέας Ἰουστινιανῆς καὶ πάσης Κύπρου, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ περιπόθητε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν Μετριότητος κύριε Χρυσόστομε, τὴν Ὑμετέραν σεβασμίαν Μακαριότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμενοι, ὑπερήδιστα προσαγορεύομεν.

Ἐγγιζούσης τῆς κοσμοσωτηρίου καὶ πανευφροσύνου ἑορτῆς τῆς τοῦ Θεοῦ Λόγου κατὰ σάρκα Γεννήσεως, ὅτε ὁ προαιώνιος Λόγος, ὁ τοῦ Πατρὸς συναΐδιος, κενοῦται, προσλαμβάνων ἀπειραγάθως βρότειον φύραμα, ἤτοι ἀνθρωπίνην φύσιν καὶ δὴ θνητὴν καὶ παθητήν, βίωσιν τῆς εὐδοκίας τοῦ Ἐνανθρωπήσαντος προσκομίζει καὶ πάλιν αὕτη ἡμῖν, ἁγιογραφικῶς καὶ ἁγιοπατερικῶς ὑπομιμνήσκουσα τὰς ἐνθεωτικὰς προεκτάσεις τοῦ πανυπερτάτου τούτου καὶ ἀπολυτρωτικοῦ γεγονότος καὶ ἐξεικονίζουσα ἐπ' ἐκκλησίας τῆς προσγενομένης οἰκονομίας τὸ ὑπερφαὲς καὶ ὑπερφυὲς καὶ ἰλιγγιῶδες θεούργημα.

Ἀσπαζόμενοι, ὅθεν, ἀδελφοποθήτως τὴν Ὑμετέραν σεβασμίαν καὶ περισπούδαστον ἡμῖν Μακαριότητα ἐπὶ τῇ θεοδωρήτῳ ταύτῃ ἐμφανείᾳ τῆς ἀγαπητικῆς τοῦ Πανοικτίρμονος Δεσπότου πρὸς ἡμᾶς συγκαταβάσεως, διακαῶς εὐχόμεθα Αὐτῇ ἐκ τῆς Πρωτοθρόνου καὶ ἀκανθοστεφηφόρου ταύτης Καθέδρας τῆς Βασιλίδος τῶν Πόλεων ὄλβια καὶ πλεῖστα ὅσα ἔτη ἐν ὑγιείᾳ σιδηρᾷ καὶ «δυνάμει Δαμασκοῦ», ἐπ' ἀγαθῷ τῆς ἧς θεοφιλῶς προΐστασθε ἐκκλησιαστικῆς κληρουχίας καὶ συνόλου τῆς τῶν ὀρθοδόξων ἀνεπιψόγου καὶ σωτηριογενοῦς μοναδικότητος.

Δῴη Κύριος κατὰ τὴν χριστοτερπῆ καρδίαν Ὑμῶν πλούσια τὰ δωρήματα τῆς Αὐτοῦ χάριτος καὶ προφθάνοι Ὑμᾶς ἐν εὐλογίαις χρηστότητος, ἵνα ἐν γήρει πίονι πληρώσητε αἰῶνος ἡμέρας ἐν τῇ προκεχωρημένῃ ἐπάλξει τῆς εὐθυνοφόρου Ὑμῶν ποιμασίας, ἐξαγγέλλων ἔργοις, λόγοις καὶ συγγραφαῖς ὅτι ἡ Ἐκείνου κένωσις τὴν ἡμετέραν πλήρωσιν καὶ ἐνθέωσιν ἐτεχνούργησεν.

Ἐπὶ δὲ τούτοις, περιπτυσσόμεθα τὴν Ὑμετέραν Μακαριότητα ἀδελφικῶς ἐν Κυρίῳ καὶ διατελοῦμεν μετὰ βαθείας τῆς ἐν Αὐτῷ ἀγάπης καὶ πάσης τιμῆς.

Χριστούγεννα ,βη'

Τῆς Ὑμετέρας σεβασμίας Μακαριότητος
ἀγαπητὸς ἐν Χριστῷ ἀδελφός

† ὁ Κωνσταντινουπόλεως Βαρθολομαῖος